bcdghmn. — *νύκτα* O. — V. 941. *ἀλλά μ'*, coniicio *οὐδέ μ'*, Emperius *ἀλλά με γῆρυς ἐκλείπει, σοφίης οὐκ ἐπιδευόμενον*. — V. 942. *ἐπιδευόμενος*, bm *ἐπιτηδευόμενος*. — V. 943—4 Schneidewin a prioribus separavit. — V. 944. *ἀθανάτοις*, g *ἀθανάτοισι*. — *θεοῖσιν*, AOf *θεοῖς*. — *ἐπευχόμενος*, c *ἀπευχόμενος*, f *προσευχόμενος*. — V. 945—8 ex *Solonis* Elegiis petiti videntur, certe Schoemann non recte ad Theognidem refert. Bekker prudenter prius distichon a posteriore seiunxit, quae Hartung rursus copulavit: at sunt diversa decreta, quae propter argumenti similitudinem continuantur, et haud dubie ex eodem poeta petita sunt. — *οὐδετέρωσε*, AO *οὐδ' ἑτέρωσε* (*ετερ*. A), l *οὐδετέρωσα*, o *οὐδετέρωσθεν*. — V. 946. *νοεῖν*, supra v. 154 *νόος ἄρτιος* dicitur, sed hic malim *τιθεῖν*. — V. 947—8 affert Stob. XXXIX 15. Hartung perperam hoc distichon cum proximo priore coniunxit. — V. 948. *τρέψας*, m *τρίψας*, Stob. *πρέψας*. — V. 949—54 nimis arguti videntur, quam ut *Soloni* tribui possint, quod coniecit Hecker. — V. 949—50 repetit A infra post 1278. — V. 949. *ὑπὲξ ἐλάφοιο*, A infra *υπεξαφοῖο*. — *ὣς*, *ὃς* m. — V. 950. *καταιμάρψας* A infra (*ι* a m. sec.?), legebatur *καταμάρψας*. — *αἵματος*, *αἵμαθος* g. — V. 951. *ἀλάπαξα*, O *ελαπαξα*. — V. 952. *ἐπέβην*, *ἔβην* m. — V. 953. *καὶ οὐκ*, O *κοὐκ*. — V. 954. *οὖκ* Schneider, v. *οὐκ*. — V. 955—6 leguntur in Append. Stob. p. 31. — *δειλοὺς* A et Stob., *δειλοὺς δ'**. — *αὐτοῦ*, dgn *αὐτοῦ*. — V. 956. *χηρώσει*, Stob. *χήρωσις*, quod tuetur Heimsoeth; aut *σῶν τε γὰρ αὐτοῦ χηρώσῃ(εαι)* scribendum aut cum Brunckio *χηρεύσει*. Hartung *χηρεύσεις*, Ahrens *τῶν τε παρ' αὐτὰ χήρωσις*. — *κτεάνων* Stobaeus, libri

Εἴ τι παθὼν ἀπ' ἐμεῦ ἀγαθὸν μέγα μὴ χάριν οἶδας,
χρήζων ἡμετέρους αὖτις ἵκοιο δόμους.

Ἔστε μὲν αὐτὸς ἔπινον ἀπὸ κρήνης μελανύδρου,
ἡδὺ τέως ἐδόκει καὶ καλὸν εἶμεν ὕδωρ·
νῦν δ' ἤδη τεθόλωται, ὕδωρ δ' ἀναμίσγεται ἰλυῖ,
ἄλλης δὴ κρήνης πίομαι ἢ ποταμοῦ.

Μή ποτ' ἐπαινήσῃς, πρὶν ἂν εἰδῇς ἄνδρα σαφηνέως,
ὀργὴν καὶ ῥυθμὸν καὶ τρόπον ὅντιν' ἔχει.
πολλοί τοι κίβδηλοι ἐπίκλοπον ἦθος ἔχοντες
κρύπτουσ', ἐνθέμενοι θυμὸν ἐφημέριον.
τούτων δ' ἐκφαίνει πάντως χρόνος ἦθος ἑκάστου.
καὶ γὰρ ἐγὼν γνώμης πολλὸν ἄρ' ἐκτὸς ἔβην·
ἔφθην σ' αἰνήσας πρίν σου κατὰ πάντα δαῆναι
ἤθεα· νῦν δ' ἤδη ναῦς ἅθ' ἑκὰς διέχω.

πολλῶν, pravum grammatici supplementum. — V. 957. ἀπ', Herwerden ὑπ', quem non sequor. — Iacobs ἐμεῦ γ', Hartung ἐμεῖ' elisione admissa, cuius desiderantur exempla, quamvis rationi non adversetur; apud Callimach. fr. 131 scribendum πολλάκι σῆς, ὦ μαῖα, φιλοξείνοιο καλιῆς μνησόμεθα. Heimsoeth hiatum removit κεδνὸν pro ἀγαθὸν scribendo, idem deinde μηκέτ' ἐμοὺς pro ἡμετέρους, Hartel audacter ἀγαθὸν παρ' ἐμεῦ. — V. 958. αὖτις, αὖθις AOel. — V. 959. ἔστε, ἕστε O, l ὥστε. — ἔπινον, ἔπιον bcdghmn. — V. 960. ἡδὺ τέως scribere malui, quam ἡδύ τ' ἐμίν, libri ἡδύ τε μοι. — εἶμεν, A ημεν, Hartel ἰέν' vel εἶμεν requirit. Hermann ἡδύ τί μοι δόκεεν καὶ καλὸν ἔμμεν ὕδωρ, Ahrens ἡδύ τε μοι τι δόκει, Hartung ἡδύ τί μοι τ' ἐδόκει. — V. 961. ἤδη, conieci ὅτε δή. — τεθόλωται, τεθύλωται el. — ἰλυῖ scripsi, ac sic etiam Ahrens coniecit, libri ὕδει, unde fortasse quis leniore molimine ὕλει eliciat, sed ὑλις, quod passim pro ἰλύς legitur, non satis habet auctoritatis: quae ratio inter ἰλὺς et ὑλίζειν intercedat, exposuit Lobeck Path. El. I 523. — V. 962. δή, δὲ bcgm. Iners additamentum ἢ ποταμοῦ, conieci ἡδυπότου, Heimsoethio placuit ἠὲ προτοῦ, Hartelio πίομ' ἐπηετανοῦ. — V. 963—8 affert Stob. III 28, v. 963 etiam Orion VIII 11 (μή ποτ' ἐπαινέσῃς πρὶν ἄνδρα ἴδῃς σώφρονα). — ἐπαινήσῃς, ἐπαινέσῃς bcdfhmn, ἐπαινέσσῃς Stob. — εἰδῇς, ἴδῃς O. — σαφηνέως Floril. Monac. 107, quemadmodum scripsit Schneidewin, libri σαφηνῶς, Stob. ἀνδρὸς ἀφανέως (B ἄνδρα σαφανέως, Trinc. ἄνδρας ἀφανέως). — V. 964. ῥυθμὸν, Stob. (praeter Schowii c.) θυμόν. — ὅντιν' ἔχει Stobaeus. ὅστις ἂν ᾖ Theognidis libri, pravum grammatici supplementum. Hecker ῥυσμὸν καὶ τρόπον οἷον ἂν ᾖ. — V. 965. κίβδηλοι Epkema, κίβδηλον libri, nisi quod el καὶ addunt. — ἐπίκλοπον, ἐπίκλοπος O. — V. 966. θυμὸν, poeta ῥυθμὸν videtur scripsisse, etiam v. 964 in libris haec vocabula permutata. Intempestiva Kayseri suspicio κῆδος scribentis, infelicius etiam Hartung ἐφιμέριον, denique Mey κρύπτουσιν θέμενοι θυμὸν suasit. — V. 967. ἐκφαίνει, ἐμφαίνει bcmn. — πάντως n; ut Epkema correxit, πάντων * Stob. — χρόνος om. el. — V. 968. ἐγὼν O, ἐγὼ rel. — V. 969. ἔφθην σ' scripsi, legebatur ἔφθην δ', A εφθην (ε del.). — V. 970. ναῦς, νηυς A. — ἅθ' ἑκὰς, A ατ εκας. Poeta

Τίς δ' ἀρετὴ πίνοντ' ἐπιοίνιον ἆθλον ἑλέσθαι;
πολλάκι τοι νικᾷ καὶ κακὸς ἄνδρ' ἀγαθόν.

Οὐδεὶς ἀνθρώπων, ὃν πότν' ἐπὶ γαῖα καλύψῃ
ἔς τ' Ἔρεβος καταβῇ, δώματα Περσεφόνης,
τέρπεται οὔτε λύρης οὔτ' αὐλητῆρος ἀκούων,
οὔτε Διωνύσου δῶρον ἀειρόμενος.
ταῦτ' ἐσορῶν κραδίῃ εὖ πείσομαι, ὄφρ' ἔτ' ἐλαφρὰ
γούνατα καὶ κεφαλὴν ἀτρεμέως προφέρω.

Μή μοι ἀνὴρ εἴη γλώσσῃ φίλος, ἀλλὰ καὶ ἔργῳ·
χερσίν τε σπεύδειν χρήμασί τ', ἀμφότερα.

quid dicere voluerit planum, nihilominus aegre verba in integrum restituas. Conieci *ναῦς ἄτ' ἔρας* (cf. Hesych. *ἔρας· γῆς*) vel *νῦν π έ τ ρ η ς ναῦς ἆθ' ἑκὰς διέχω*, Ahrens *νῦν δὴ γῆς*, sed idem etiam *ἄτ' ἄκρας* protulit, Hartung *νὺν δ' ἤδη νηῦν τε πέτρας διέχω*. Meineke distichon intercidisse suspicatur *διέχω πέτρης, ἥ τ' ἐνὶ πόντῳ ἀπειρίτῳ ἐστήρικται κτλ.* — V. 973. *ὃν πότν' ἐπὶ γαῖα* scripsi, O *ὃν ποτ' ἐπί*, A *ὃν πρωτ' επι*, rell. *ὃν ἐπεί ποτε*. Mendum antiquae paradosis, quod Byzantinus magister parum prospero successu tollere studuit, corrector cod. A scite admodum procuravit, sed una tantum littera inserta pristinum decorem poetae elegantissimi sermoni reddidisse videor; cf. poematium Homericum *πότνια γῆ, πάνδωρε, δότειρα μελίφρονος ὄλβου*, et hymn. 30, 6; adde Aeschyli Choeph. 707 *ὦ πότνια χθών, ὦ πότνι' ἀκτὴ χώματος.* — *καλύψῃ* Turnebus, libri *καλύψει*. — V. 974. *ἔς τ'* Om, *εἴς τ'* rel. — *δώματα* AO, *δῶμά τε**. — V. 975. *λυρης*, *λύρας* em. — V. 976. *Διωνύσου*, *διονύσου* Aehl, *διωνύσσου* cg. — *δῶρον ἀειρόμενος* scripsi, libri *δῶρ' ἐσαειράμενος* (A *δῶρ' εςαειρομενος*, sed inter *ο* et *μ* ras.) ex manifesta interpolatione (*δῶρ' ἀειράμενος* traditum fuit), nam neque alias hoc verbum compositum legitur, et hoc loco sermonis consuetudine plane adversatur, vid. ad v. 501. Praesens tempus requiri iam Schaefer vidit *ἐσαειρόμενος* corrigens, Herwerden *ἔτ' ἀειρόμενος*, Hartung *δῶρον ἐπαυρόμενος*. — V. 977. *κραδίῃ*, A *κραδιην*, quod non debebam in ordinem recipere, cf. Solon 24, 4 *γαστρί τε καὶ πλευρῇς καὶ ποσὶν ἁβρὰ παθεῖν.* Herwerden *ταῦτ' ἐσορῶν, κραδίη, εὖ πείσομαι* commendat. — *ὄφρ' ἔτ'* Schneidewin, libri *ὄφρα τ'*, quod quamvis similitudine (velut *ὅτε τε, ὅτε περ τε, ἔστε* al.) tueri possis, tamen alterum quoque exemplum v. 1128 de vitio suspectum. — V. 978. *ἀτρεμέως* AO, *ἀτρομέω* g, *ἀτρομέων**. — *προφέρω* si vitii est expers, accomodatum est *γούνασι*, nam *ἀνὴρ γούνατα προφέρει*, ut Latini dicunt *pedem proferre*, *φέρει κεφαλήν*. Sed fortasse scribendum *ὄφρ' ἔτ' ἐ λ ά φ ρ' ᾖ γούνατα καὶ κεφαλὴν ἀτρεμέως φ ο ρ έ ω*, quemadmodum Attici *κρανία, σκέλη, ῥύγχος, γλῶτταν φορεῖν* dicunt. — V. 979—82, qui vulgo copulantur, diremi; nam utroque disticho idem decretum variato tantum sermone repetitur, quemadmodum solent in hac sylloge capitula eiusdem argumenti deinceps se excipere. Ac si v. 981—2 separantur, iam confirmatur scriptura *θέλγοις* et proximi versus emendatio, nam in peculiari ecloga tertiae personae nullus est locus. — V. 979 affert Floril. Monac. 147. — V. 980. *χερσί* O. — *σπεύδειν* scripsi, O *σπεύδει*, A *σπευδον*, rel. *σπεύδοι*. Antea

Μηδὲ παρὰ κρητῆρι λόγοισιν ἐμὴν φρένα θέλγοις,
ἀλλ' ἔρδων φαίνοι', εἴ τι δύναι', ἀγαθόν.

Ἡμεῖς δ' ἐν θαλίῃσι φίλον καταθώμεθα θυμόν,
ὄφρ' ἔτι τερπωλῆς ἔργ' ἐρατεινὰ φέρῃ.
αἶψα γὰρ ὥστε νόημα παρέρχεται ἀγλαὸς ἥβη·
οὐδ' ἵππων ὁρμὴ γίνεται ὠκυτέρη, 546
αἵτε ἄνακτα φέρουσι δορυσσόον ἐς πόνον ἀνδρῶν
λάβρως, πυροφόρῳ τερπόμεναι πεδίῳ.

Πῖν' ὁπόταν πίνωσιν· ὅταν δέ τι θυμὸν ἀσηθῇς,
μηδεὶς ἀνθρώπων γνῷ σε βαρυνόμενον.

Ἄλλοτέ τοι πάσχων ἀνιήσεαι, ἄλλοτε δ' ἔρδων
χαιρήσεις· δύναται δ' ἄλλοτε ἄλλος ἀνήρ.

σπεύδου recepi, nec desunt mediae formae exempla, sed non prorsus similia; hic enim addendum *φίλος εἶναι*, refinxit hoc corrector cod. A propter v. 981 secundam personam desiderans. Intempestiva Hartelii coniectura *ἀλλὰ καὶ ἔργῳ, χερσίν τε σπεύδων ῥήμασί τ' ἀμ.* scribentis. — *χρήμασι*, olim *ῥήμασι* conieci, itaque Meineke. — V. 981. *κρητῆρι* Bekker, *κλητῆρι* A, *κρατῆρσι* O, *κρητῆρσι**. — *θελγοις* A, *τέρπου* m, *τέρποι**, *θέλγοι* Bekker. — V. 982. *ερδων* A, *ἔρδων* O, *ἔργων* bm. — *φαίνοι'* scripsi, v. *φαίνοιτ'* (*τ* er. in A). — *δύναι'* scripsi, vulgo *δύναιτ'* (*τ* er. in A), bcm *δύνατ'*. — V. 983—8 fort. *Mimnermi* sunt. — *θαλίῃσι*, A *θαλίεσσι*, O *θαλίαισι*. — V. 985 et 6 om. A. — *ἀγλαὸς*, *ἀγλαὸν* el. — V. 986. *γίνεται* O, v. *γίγνεται*. — V. 987. *αἵτε ἄνακτα φ.* A, *αἵτ' ἀναφέρ.* O, *αἵ τε γὰρ ἄνδρα φ.* g, *αἵτε περ ἄνδρα φ.**. Hartel *αἵ ῥά τ' ἄνακτα* requirit. — *ἀνδρῶν*, O *ἀνδρὸς*. — V. 988. *πυροφόρῳ*, Hermann *εὐρυχόρῳ* vel *εὐρυπόρῳ*. — *τερπόμεναι*, Emperius *σπερχομεναι*. His inventis loci difficultas non expeditur, equidem tentavi *πυρσοφόρῳ τερπόμεναι σπιδίῳ*, equi gaudent belli indicio e longinquo per ignes accensos facto, cf. v. 549 *ἄγγελος ἄφθογγος πόλεμον πολύδακρυν ἐγείρει, Κύρν', ἀπὸ τηλαυγέος φαινόμενος σκοπιῆς, ἀλλ' ἵπποις ἔμβαλλε ταχυπτέρνοισι χαλινοὺς κτλ.* *πυρσοφόρος* hic non est *πυρφόρος*, sed signum, quod edit, quemadmodum *φρυκτωρός* non solum vigilem, sed etiam *φρυκτωρίαν* significat. Adiectivo *σπίδιος* Aeschylus, adverbio *σπιδόθεν* Antimachus utitur. Ahrens librorum scripturam tuetur. — V. 989. *πῖν' ὁπόταν*, *πῖνε ὅταν* el, *πῖν ὅταν* f. — *δέ τι* Brunck, *δ' ἔτι* A, *τοι* Ocdfghn. — V. 991—2. Hoc distichon Brunck et Ahrens prioribus adnectunt. — *ἀνιήσεαι*, *ἀνιάσεαι* el, *ἀνιήσεται* O. — *δ'* A, *θ'* Ocg, *τ'**. — V. 992. *χαιρήσεις· δύναται δ' ἄλλοτε ἄλλος ἀνήρ* scripsi, vulgo *χαιρήσειν δύνασαι, ἄλλοτέ τ' ἄλλος ἀνήρ*, sed *χαιρηῖσι δυναται· ἄλλοτε δαλλος ἀ.* A, *χαιρήσειν δύνασαι ἄλλοτε τ'* cg, *χαιρήσειν δύνααι ἄλλοτε τ'* Obdefhmn. Bekker *χαιρήσεις· δύναται ἄλλοτε*, Hartung *χαιρήσεις· ὀδυνᾶτ'*. Sane *δύναται* non satis conveniens huic loco, mihi in mentem venit *δυαᾷ δ' ἄλλοτε δ' ἄλλος ἀνήρ* i. e. miseria laborat alius alio tempore. Usus est hoc vocabulo Hom. Od. *Υ* 195 *ἀλλὰ θεοὶ δυόωσι πολυπλάγκτους ἀνθρώπους*, sed verbum quod ibi agentis est potuit etiam patiendi vim adsciscere, ac Lobeck Rhem. 186 haesitat,

Εἰ θείης, Ἀκάδημε, ἐφίμερον ὕμνον ἀείδειν,
ἆθλον δ' ἐν μέσσῳ παῖς καλὸν ἄνθος ἔχων
σοί τ' εἴη καὶ ἐμοὶ σοφίης πέρι θηρισάντοιν,
γνοίης χ' ὅσσον ὄνων κρέσσονες ἡμίονοι.

Τῆμος δ' ἠέλιος μὲν ἐν αἰθέρι μώνυχας ἵππους
ἄρτι παραγγέλλοι μέσσατον ἦμαρ ἔχων,
δείπνου δὴ λήγοιμεν, ὅπου τινὰ θυμὸς ἀνώγοι,
παντοίων ἀγαθῶν γαστρὶ χαριζόμενοι. 547

utrum Homerus *δυόω* an *δυάω* dixerit. Epica forma *δυάᾳ* pro *δυᾷ* sane ab elegiographorum consuetudine abhorret, nisi quod varia scriptura *δηριόωσι* v. 995 apud Athenaeum legitur, et *ὁράᾳς* est in antiquo Attico epigrammate, vid. ad Solon. 12, 11; sed *εἰσορόων* Theogn. 1018 in O ex errore librarii profectum. Sin abiudicaveris huic poetae trisyllabum *δυάᾳ*, possis *χαιρήσεισθα· δυᾷ δ'* scribere. Neque vero existimandum in cod. A scriptura *χαιρήσῃ* delitescere, quod merito Atticistae improbant, nam Attici certe *χαιρήσεις* dixerunt, quamquam non ignoro passim quae novicii scriptores frequentant antiquitus esse propagata. — V. 993–6 affert Athen. VII 310 B, v. 996 Eustath. 1291, 54. — *εἰ θείης Ἀκάδημε*, Athen. *εἴ τ' εἴησα καλὴν μὲν*, Turnebus *εἴθ' εἴη σ' Ἀκάδημε*, Emperius *εἰ τλαίης, Ἀκάδημος*. Mihi olim Sacadae Argivi nomen videbatur delitescere, *Εἴθ' εἴη, Σακάδη, μετ' ἐφίμερον ὕμνον ἀείδειν*, vel potius *εἰ θείης, Σακάδη, δι' ἐφ. ὕ. ἀ.*, nam *εἰ θείης* i. e. *si canendi certamen institueris* germana est scriptura, *διᾴδειν* autem proprium est verbum de poetis inter se contendentibus, vid. Aristot. Poet. 27, 6 *ἔστι περιεργάζεσθαι τοῖς σημείοις καὶ ῥαψῳδοῦντα, ὅπερ ἐποίει Σωσίστρατος, καὶ διᾴδοντα, ὅπερ ἐποίει Μνασίθεος ὁ Ὀπούντιος*. Theocr. V 22 *ἀλλ' ἄγε τοι διαείσομαι, ἔστε κ' ἀπείπῃς*. Attici mediam formam praeoptaverunt, hinc Phrynichus Bekk. I 37 *διᾴσασθαι· τὸ διαμιλλήσασθαι* (sive *διαμιλλήσεσθαι*) *ἐν ᾠδῇ τινί*. In Theogn. possis etiam *εἰ θείης Σακάδη μοι* scribere, ut est ap. Theocr. VIII 6 *λῇς μοι ἀεῖσαι; φαμί τυ νικασεῖν ὅσσον θέλω* (corr. *σθένω*) *αὐτὸς ἀείδων*. Heimsoethio placuit *εἰ θείη τις ἅμιλλαν*. — *ἐφίμερον*, AO *ἐφήμερον*. — V. 994. *μέσσῳ*, O *μέσω*, f *μέσων*. — *καλὸν*, O *κακὸν*, *καλὸς* Athen. — V. 995. *τ'*, A *τι*. — *δηρισάντοιν*, (*περι*) *δηρισάντων* A, *δηρησάντοιν* cdefhln, *δηρησάντων* O, *δορησάντων* m (supra *οιν*), *δηριόωσι* Ath. — V. 996. *χ'*, A *τ'* (*οσσον*), O *θ'*. — *ὄνων*, O *ὄνου*. — *κρέσσονες*, f *γρέσσονες*, l *ἀρέσσονες*. — V. 997—1002. Athen. ib. (VII 310 A): *ἦν δὲ καὶ ὁ Θέογνις περὶ ἡδυπάθειαν, ὡς αὐτὸς περὶ αὐτοῦ φησὶ διὰ τούτων*. — *τῆμος* AO et Ath., *ἦμος* rel. libri, quod revocavit Hartung. — *μὲν ἐν αἰθέρι*, Emperius et Hartung *μέσῳ αἰθέρι*. — *παραγγέλλοι* Ath. dghn, *παραγγέλοι* AObcfm, *παραγγέλλων* el, *παραγγέλλει* vulgo, Emperius *παραστέλλοι* (*sistat*). — V. 999. *δείπνου*, ap. Ath. PV *δεῖπνα*, L *δειπνοῦ*. — *δὴ* Ath., *δὲ* AO, *τοι* g, *τε**. — *λήγοιμεν*, *ὅπου*, ap. Ath. A *λήγοι μένος οὗ*, PVL *λήγοι μένος, ὄν*, Schweighaeuser *λήγοιμεν ὅσου*, Brunck *μνησαίμεθ' ὅσον*, vir doctus ap. Schneidewinum *δῆτ' ἀλέγοιμεν*, contra Hermann, qui apodosin omnino deesse censet, *δείπνου δὲ λήγοιμεν, ὅτου κτλ.*, Heimsoeth *μὴ ληθοίμεθ'*, Emperius *δείπνου δὴ κηδοίμεθ'*, Meineke *δείπνου δῆτ' ἀλέγοιμεν, ὅτου κτλ.*, Hartung *δείπνου δειπνήσοιμεν, ὅσου*, mihi olim poeta scripsisse vide-

χέρνιβα δ' αἶψα θύραζε φέροι, στεφανώματα δ' εἴσω
εὐειδὴς ῥαδιναῖς χερσὶ Λάκ[illegible]να κόρη.

Ἤδ' ἀρετή, τόδ' ἄεθλον ἐν ἀνθρώποισιν ἄριστον
κάλλιστόν τε φέρειν γίνεται ἀνδρὶ σοφῷ·
ξυνὸν δ' ἐσθλὸν τοῦτο πόληΐ τε παντί τε δήμῳ,
ὅστις ἀνὴρ διαβὰς ἐν προμάχοισι μένῃ.

batur *δείπνου ἄδην ἐλάοιμεν, ὅσον κτλ.* — *ἀνώγοι* A Athen, **ἀνώγει*. — V. 1001. *φέροι* A et Athen., ceteri codd. *φέρει* praeter cg, qui *φέροϊ* vel *φέριστε φανώμεθα*. — *δ' εἴσω* A Athen., *δήσοι**, unde suspicetur aliquis *δ' εἴσοι* vel *εἰσοῖ* scriptum fuisse, quemadmodum Syracusani *ἔξοι* vel *ἐξοῖ* dixerunt. — V. 1002. *εὐειδής*, A *ευειδηις* (ap. Ath. B *ἐνείδας*). — *ῥαδιναῖς*, Ath. *ῥαδινῇς*. Hoc loco ei, qui interpretis et critici munere fungitur, plurimae obiiciuntur difficultates. Menda, quibus haec ecloga obsita est, inveterata esse arguit consensus Athenaei, qui hac sylloge usus est, cum Theognideis libris, neque critici nostri in vitiis vel indagandis vel tollendis prospero successu usi sunt. Offensioni plerisque fuit v. 999 *δείπνου δὴ λήγοιμεν*, ac mihi quoque olim poeta videbatur sodales hortari, non ut desinant convivari, sed ut incipiant. At *λήγοιμεν* non est addubitandum, nam poeta non coenam, sed compotationem descripturus, id quod corollarum mentio v. 1001 testificatur, coenae quam maiorum more meridiano tempore obeunt iam finem faciendum esse monet. Breviator ex primori parte amplioris carminis tria tantum disticha descripsit quae componas cum Xenophanis eleg. 1, 1 seq. Ut quae iure offendunt summatim perstringam, Byzantinus magister *ἦμος* pro *τῆμος* corrigendo protasin restituit, quam apodosis v. 999 excipiat, sed non animadvertit *μὲν* importunum esse neque optativum convenire orationi ita conformatae. Rursus si antiquam sequimur paradosin *τῆμος δ' ἠέλιος μὲν*, non *δείπνου δή*, sed *δὲ* subsequi debebat, quod AO suppeditant, at haec scriptura numero versus adversatur, nam eiusmodi productio ab elegiacis poetis aliena. Hae et aliae offensiones tolluntur, ubi scripseris:

τῆμος δ', — ἠέλιος γὰρ ἐν αἰθέρι μώνυχας ἵππους
ἄρτι παραγγέλλει μέσσατον ἦμαρ ἐλῶν —
δείπνου δὴ λήγοιμεν, ὅσον τινα θυμὸς ἀνώγοι,
παντοίων ἀγαθῶν γαστρὶ χαριξάμενοι.

Medelae quas adhibui et necessariae et lenes, nisi quod forsitan *ἔχων* quis tueatur (*Λ* et *X* saepius confusa, ut v. 292, ubi libri *ἔχει* et *ἔλει* praebent). Postquam in primo versu *μὲν* se insinuavit, oportebat indicativum cedere optativo. Corruptelae *ὅσον* vel *ὅπου* ortae, quod non intellectum, hoc incisum arctissima necessitudine cum pentametro iunctum esse. *Χαριξάμενοι*, non *χαρισσάμενοι* scripsi, quoniam illud corruptelae magis obnoxium: partic. praes. et aoristi in Theognidis libris saepius confunduntur, et nonnunquam non multum refert hoc an illud probaveris, velut 995 et *δηρισάντοιν* et *δηριόωσι* dici poterat, sed hoc loco aoristus necessarius. — V. 1003—6 petiti sunt ex *Tyrtaei* El. 12, v. 13—16 non sine varietate lectionis. — *ἦδ'*, *ἡ δ'* cg, *ἡδ'* l. — *τόδ'*, *τὸ δ'* bcghn. — V. 1004. *γίνεται* AO, legebatur *γίγνεται*. — V. 1005. *πόληϊ*, O *πολῖηϊ*, h *πολιῇ*. — *παντί τε* om. f. — *δήμῳ*, O *τῷ δήμω*. — V. 1006. *προμάχοισι*, O *προμάχαισιν*. — *μένῃ*, *μένει* A, *ἔνι**.

Ξυνὸν δ' ἀνθρώποις ὑποθήσομαι, ὄφρα τις ἥβᾳ
ἀγλαὸν ἄνθος ἔχων καὶ φρεσὶν ἐσθλὰ νοῇ,
τῶν αὐτοῦ κτεάνων εὖ πασχέμεν· οὐ γὰρ ἀνηβᾶν
δὶς πέλεται πρὸς θεῶν οὐδὲ λύσις θανάτου
θνητοῖς ἀνθρώποισι. καλὸν δ' ἐπὶ γῆρας ἐλέγχει
οὐλόμενον, κεφαλῆς δ' ἅπτεται ἀκροτάτης.

Ἆ μάκαρ εὐδαίμων τε καὶ ὄλβιος, ὅστις ἄπειρος
ἄθλων εἰς Ἀΐδεω δῶμα μέλαν καταβῇ,
πρίν τ' ἐχθροὺς πτῆξαι καὶ ὑπερβῆναί περ ἀνάγκῃ,
ἐξετάσαι τε φίλους, ὅντιν' ἔχουσι νόον.

Αὐτίκα μοι κατὰ μὲν χροιὴν ῥέει ἄσπετος ἱδρώς,
πτοιῶμαι δ' ἐσορῶν ἄνθος ὁμηλικίης
τερπνὸν ὁμῶς καὶ καλόν, ἐπεὶ πλέον ὤφελεν εἶναι· 548
ἀλλ' ὀλιγοχρόνιος γίνεται ὥσπερ ὄναρ

V. 1007—12 fort. *Mimnermi* sunt. — V. 1007. ἥβᾳ scripsi, legebatur ἥβης, nisi forte quis malit proximo versu ἔχῃ, nam alterutra correctio necessaria; sed verisimilius multo librarios ad ἥβης, quam ad ἔχων vocabulum aberravisse. — V. 1008. ἔχων, K in ras. ἔχη, atque ἔχῃ etiam Brunck scripsit. — V. 1009. αὐτοῦ, αὑτοῦ dhn. — πασχέμεν, παρεσχέμεν g. — ἀνηβᾶν, O ἂν ἡβᾶν. — V. 1011. καλὸν scripsi, libri κακὸν, verbum ἐπελέγχειν idem videtur esse quod κατελέγχειν i. e. pulcrum foedat senectus. Mimnermum quemadmodum alios elegiographos pro arbitrio modulum vocis καλὸς temperasse consentaneum est, nam θνητοῖς ἀνθρώποις· καλὸν δ' durissimum. Plerisque ἐλέγχει vitiosum visum, Pierson ἐπείγει, quod verbum a praepositionum societate abhorret, Hartung ἐλαύνει, Herwerden, qui varia pericula proposuit, tandem acquievit invento κακὸν δ' ἔπι γῆρας ἔλεγχος, quemadmodum iam antea Ahrens κακῷ δ' ἐπὶ γῆρας ἐλέγχει οὐλόμενον κεφαλῆς ἅπ. ἀκ. scripsit, Heimsoeth ἐνεγκὸν... ἅπτεται. — V. 1012. δ' om. O. — V. 1013. α A, ὡς*. — μάκαρ, μακρὰ f. — V. 1014. Ἀΐδεω Bekker, αιδου A, ἅδου c, ᾅδου*. — καταβῇ O, κατέβη*. — V. 1015. πρίν τ' libri, Bekker πρίν γ'. — ὑπερβῆναι, conieci ὑπερβλῆναι, i. e. *opprimi*, *occupari*, vel ὑποβλῆναι, de aoristo ἔβλην vid. Et. M. 199, 52. Emperius ὑπερμενέας, Ahrens πρίν τ' ἐχθρῶν πτῆξαι καὶ ὑπερβίην, Hartung ὑποδμηθῆναι ἀνάγκῃ scripsit, et hos quoque versus (1013—6) *Mimnermo* vindicat;. denique Herwerden hic quoque varia molitus audacter novavit ἐπευφρῆναι. — περ om. f. — V. 1016. τε, δε A. — V. 1017—22 *Mimnermi* sunt, vid. fr. 5 ubi non sine varietate leguntur. — χροιὴν, Spitzner χροιῆς probante Hartungo. — V. 1018. πτοιωμαι A, πτοιοῦμαι*. — ἐσορῶν, A εισορων, O εἰσορόων. — ὁμηλικίης, O ὁμιλίης. — V. 1019. ὁμῶς, perperam Heimsoeth ὅμως, cf. Mimn. fr. 5. — ἐπεὶ, ἐπὶ g. — ὤφελεν, AOc ὤφειλεν. — V. 1020. ὀλιγοχρόνιος O, reliqui ὀλιγοχρόνιον, quod posthabui, quamvis Stobaeus qui ex Mimnermo versus adscripsit, consentiat cum A et proletariis. — γίνεται AO. v. γίγνεται.

ἥβη τιμήεσσα· τὸ δ' οὐλόμενον καὶ ἄμορφον
αὐτίχ' ὑπὲρ κεφαλῆς γῆρας ὑπερκρέμαται.

Οὔποτε τοῖς ἐχθροῖσιν ὑπὸ ζυγὸν αὐχένα θήσω
δύσλοφον, οὐδ' εἴ μοι Τμῶλος ἔπεστι κάρῃ.

Δειλοί τοι κακότητι ματαιότεροι νόον εἰσίν,
τῶν δ' ἀγαθῶν αἰεὶ πρήξιες ἰθύτεραι.

Ῥηΐδίη τοι πρῆξις ἐν ἀνθρώποις κακότητος·
τοῦ δ' ἀγαθοῦ χαλεπή, Κύρνε, πέλει παλάμη.

Τόλμα θυμὲ κακοῖσιν ὅμως ἄτλητα πεπονθώς·
δειλῶν τοι κραδίη γίνεται ὀξυτέρη·
μηδὲ σύ γ' ἀπρήκτοισιν ἐπ' ἔργμασιν ἄλγος ἀέξων
ὄχθει, μηδ' ἄχθου, μηδὲ φίλους ἀνία,
μηδ' ἐχθροὺς εὔφραινε. θεῶν δ' εἱμαρμένα δῶρα
οὐκ ἂν ῥηϊδίως θνητὸς ἀνὴρ προφύγοι,
οὔτ' ἂν πορφυρέης καταδὺς ἐς πυθμένα λίμνης,
οὔθ' ὅταν αὐτὸν ἔχῃ Τάρταρος ἠερόεις.

V. 1022. *ὑπερκρέμαται*, Hecker *ἐπικρέμαται*. — V. 1023—4 *Mimnermi* videntur. — *οὔποτε*, *οὔποτ' ἐν* cg. — *ὑπὸ ζυγὸν*, *ὑποζύγιον* A. — V. 1025. *δειλοί* A, *δειλοῖς**. — *νόον* A, *νόοι* O, *γόοι* bcdefghlmn. — V. 1027. *τοι*, *τε* bcgm. — V. 1028. *Κύρνε*, *πέλει*, O *πέλει κύρνε*. — V. 1029. *κακοῖσιν*, haec structura adeo offendit Heimsoethium, ut *κάκωσιν* rescripserit, intempestivam hanc medelam etiam v. 355 adhibens. — V. 1029—34 affert Stob. CXXIV 9. — *ομως* A, *ὁμῶς* Olmn. — V. 1030. *τοι*, *τι* h. — *γίνεται* AO, v. *γίγνεται* etiam ap. Stob. — V. 1031. *γ'*, *τ'* AO. — *ἐπ'*, ap. Stob. cod. Vind. *ἐφ'*. — V. 1032. *ὄχθει* scripsi, ut Emperius quoque coniecit, legebatur *ἔχθει μηδ' ἄχθου*, sed A *ἔχθει μηδ' εχθει*, O *ἔχθει μηδ' ἄχθει*. Emendatio incerta, sed *μόχθει* nimis ambiguum, *ἄχνυσο* a vestigiis litterarum recedit. Apud Stobaeum legitur *αὔχει μηδ' αἴσχεα*. Heimsoeth proxime opinor ad germanam speciem accessit scribens *ἄχθεο*, *μηδ' ἄχθει μήτε φίλους ἀνία*, *μήτ' ἐχθροὺς εὔφραινε*, structuram certe expedivit *μήτε* — *μήτε* corrigendo, priora, quae iam Geel eodem modo refinxerat, non satisfaciunt, nam si repetendum fuit idem vocabulum, verbi participium requiritur velut *ὄχθει*, *μηδ' ὀχθῶν*, sed iners haec verborum copia, itaque tentavi *ἔκζει*, *μηδ' ἄχθου μήτε* . . . *μήτε* i. e. *ne effervescas neve dolorem prodens taedium amicis*, *inimicis gaudium pares.* Ἔκζει inprimis v. 1030 commendat. Hermann *ἄγχεο* (*ὄκνει* vel *χώεο*) *μηδ' ἄχθου* vel *ἄχθεο μηδ' ἰσχνοῦ*, Ahrens *ἔκθει μηδ' ἄχθου*. — V. 1033. *εὔφραινε*, A *ευφρηνε*, O *ἔχθρηνε*. — *θεῶν*, A *θέλων*. — *δ'* om. g. — V. 1034. *ῥηϊδίως*, A *ρηϊδιος*. — V. 1035. *οὔτ' ἂν*, *ἃ οὐ* Stob. — V. 1036. *αὐτὸν*, Hermann *αὐτὸς*.

Ἄνδρα τοί ἐστ' ἀγαθὸν χαλεπώτατον ἐξαπατῆσαι,
ὡς ἐν ἐμοὶ γνώμη, Κύρνε, πάλαι κέκριται.

Ἄφρονες ἄνθρωποι καὶ νήπιοι, οἵτινες οἶνον
μὴ πίνουσ' ἄστρου καὶ κυνὸς ἀρχομένου.

Δεῦρο σὺν αὐλητῆρι· παρὰ κλαίοντι γελῶντες 549
πίνωμεν, κείνου κήδεσι τερπόμενοι.

Εὕδωμεν· φυλακὴ δὲ πόλευς φυλάκεσσι μελήσει
ἀστυφέλης ἐρατῆς πατρίδος ἡμετέρης.

Ναὶ μὰ Δί', εἴ τις τῶνδε καὶ ἐγκεκαλυμμένος εὕδει,
ἡμέτερον κῶμον δέξεται ἀρπαλέως.

Νῦν μὲν πίνοντες τερπώμεθα, καλὰ λέγοντες·
ἅσσα δ' ἔπειτ' ἔσται, ταῦτα θεοῖσι μέλει.

Σοὶ δ' ἐγὼ οἷά τε παιδὶ πατὴρ ὑποθήσομαι αὐτός
ἐσθλά· σὺ δ' ἐν θυμῷ καὶ φρεσὶ ταῦτα βάλευ·
μή ποτ' ἐπειγόμενος πρήξῃς χρέος; ἀλλὰ βαθείῃ

V. 1038. *εμοι γνώμη* A, vulgo *ἐμῇ γνώμῃ*. Post hunc versum repetunt omnes codd. v. 853—4. — V. 1040. *πίνουσ'*, *πίνωσ'* el. fort. recte. — *κυνὸς*, *κενὸς* e. — *ἀρχομένου*, O *ἐρχομένου*. — V. 1041—2 Hartung *Archilocho* tribuit, id quod ego quoque aliquando conieci. — V. 1041. *σὺν αὐλητῆρι·* sic distinxi, vulgo coniungunt cum seqq. — V. 1043. *πόλευς*, A *πόλεως*, Renner *πόλεος* praeoptat. — V. 1044. *ἀστυφελης* A, O *ἀστυφελὴς*, bcm et dn a m. sec. *ἃ στυφελῆς*, efhl et dn a m. pr. *εὖ στυφελῆς*. Ahrens *ἂν στυφελῆς τις ἐρᾷ*, Emperius *εὐσταφύλης*, Hartung *μελήσει· ἄστυ φιλεῖς*, Meineke *ἀστυφίλης* i. e. *τοῖς φιλοῦσιν ἄστυ*, Schmidt *ἀστεμφὴς* a poeta profectum esse opinatur. — *ἐρατῆς*, O *ἐραστὴς*. — V. 1045. *εἴ*, m *ἤ*. — *τῶνδε*, AO *τόνδε*, conieci *τεῖνδε*, vid. adn. v. 467. — *εὕδει*, c *εὕδοι*, — V. 1046. *κῶμον*, g *μῶμον*. — *ἀρπαλέως*, c *ἀργαλέως*. — V. 1047. *τερπώμεθα*, h *τερπόμεθα*. — V. 1048. *ἅσσα*, g ex corr. *ὅσσα*. — *ἔπειτ'*, A *ἐπειθ'*. — *μέλει*, fort. *μέλοι*, ut etiam Nauck, vel potius *θεοῖς μελέτω*. — V. 1049. *σοὶ δ' ἐγὼ* scripsi, *σοι δε τω* A, *σοὶ δέ κεν* el, *σοὶ δὲ** (O *σὺ δὲ*), Bekker *σοὶ δέ τοι*. — *οἷά τε*, *οι ἅτε* A, *οἷά τι* b. — *πατὴρ* A, *φίλω** praeter O, qui om. — V. 1050. *βάλευ* A, *βάλλε* l, *βάλε**. — V. 1051—4 vulgo separantur. — *πρήξῃς*, *πρόξηις* A, *πράξῃς* O. — *χρέος* haud cunctanter scripsi, libri *κακόν*, quod omnino perversum; nam poeta amicum monet, ne quid festinanter agat; ex nimia sane festinatione mala multa et gravia proficiscuntur, cf. Herod. VII 10, 6: *ἐπειχθῆναι* (*ἐπειχθὲν* verissime Siesby restituit) *μὲν νυν πᾶν πρῆγμα τίκτει σφάλματα, ἐκ τῶν ζημίαι μεγάλαι φιλέουσι γίνεσθαι*, at *πράσσειν κακὸν* est facinus malum patrare, a quo honestum amicum qui deterret, gravi contumelia afficit. — *βαθείῃ*, *βαθείης* A.

σῇ φρενὶ βούλευσαι σῷ ἀγαθῷ τε νόῳ.
τῶν γὰρ μαινομένων πέτεται θυμός τε νόος τε,
βουλὴ δ' εἴς' ἀγαθὸν καὶ νόος ἐσθλὸν ἄγει.

Ἀλλὰ λόγον μὲν τοῦτον ἐάσομεν, αὐτὰρ ἐμοὶ σύ
αὔλει, καὶ Μουσῶν μνησόμεθ' ἀμφότεροι.
αὗται γὰρ τάδ' ἔδωκαν ἔχειν κεχαρισμένα δῶρα
σοὶ καὶ ἐμοὶ τιμὴν κἀμφιπερικτίοσιν.

Τιμαγόρα, πολλῶν ὀργὴν ἀπάτερθεν ὁρῶντι
γινωσκειν χαλεπόν, καίπερ ἐόντι σοφῷ.

V. 1052. *βούλευσαι*, O *βουλεῦσαι*, el *βεβούλευσαι*. — *σῷ ἀγαθῷ τε νόῳ* libri nisi quod A *σωτ* (fuit olim *σωι*, ut v. 498 *πίνηι*, ubi A *πίνητ'*), O *τέκνω*. Hiatus asperitas mitigatur, quod iota dativi nota olim non plane obmutuit, itaque huic generi hiatus non solum in Homericis carminibus, sed passim etiam in Pindaro venia parata; ad eundem modum Theognis supra v. 977 *κραδίῃ εὖ πείσομαι*. Haud scio an verba in hunc modum traiicienda sint *σῷ τε νόῳ ἀγαθῷ*, cum antea inverso ordine poeta sit usus *βαθείῃ σῇ φρενί*. Est enim Theognis orationis artificiose componendae inprimis peritus atque ob id ipsum Isocrati probatus, qui iure has elegias *τεχνικῶς πεποιημένας* arbitratur. Hiatum huius loci sustulit Ahrens scr. *σῷ τ' ἀγαθόν τι νόῳ* incommodo quidem institutae sententiae, nec magis audiendus Hartung qui *ἀλλὰ βαθείης ἐν φρεσὶ βούλευσαι σαῖς ἀγανῷ τε νόῳ* scr. — V. 1053. *γὰρ* om. f. — *μαινομενων πετεται* A, *μαρναμένων μάχεται**. *μάχεται* fortasse revocandum, cf. v. 631 *ᾧτ' ἔνι μὴ κρέσσων θυμοῦ νόος κτλ.* — *νόος*, *νόω* el. — V. 1054. *δ'*, *σ'* O. — *εἰς*, cg *ἐς*. — *νόος ἐσθλὸν* scripsi, libri *νόον ἐσθλὸν*, Hartung *νόος ἐσθλὸς* correxit, recte sane *νόος* restituens, sed *ἐσθλὸν* non erat mutandum, quem poeta dicit consilio et mente prospero successu uti, cum desipientium irrita sint consilia. — V. 1055. *ἐάσομεν*, *ἐάσομαι* O, *ἐάσωμεν* h. — V. 1056. *Μουσῶν*, in proecdosi *Μουσέων* scripsi. — V. 1057. *αὗται*, M. Schmidt *αὐτοῖς*. — V. 1058. *τιμὴν κἀμφιπερικτίοσιν* auctore Camerario timide refinxi adhibito non plane dissimili loco v. 1846 *σοί τι περισσὸν Ζεὺς τόδε τιμήσας δῶρον ἔδωκεν ἔχειν*. Ut hic *τιμὴν* subiunctum, ita ap. Hom. Il. Δ 197 *κλέος*. Quamquam alia quoque licet periclitari, velut cum Ahr. *μελέμεν δ' ἀμφ.* Satius fortasse emendationis periculo abstinere, cum quid antiquitus sit traditum ignoremus, nam testes prorsus dissentiunt, A *μεν δ'*, O *νῦν*, proletarii *μὴν* (cg *μὴν καὶ* haud dubie ex corr.), prava illa quidem pariter, nam neque sententiae neque numero versus laboranti subveniunt. Brunck scripsit *καὶ μὴν κἀμφ.*, Bekker *καὶ μὴν*, Heimsoeth *διὰ νῷν δ' ἀ.*, Ahrens *μελέμεν δ'*, Hartung *μέλπειν*, M. Schmidt *νωμᾶν δ'* vel *μεταδοῦν δ'*. Conieci olim *σοὶ καὶ ἐμοί*, *Ναννοῖ*, *κἀμφιπερικτίοσιν*: ut *Mimnermi* hi fuerint versus, id quod etiam nunc tueor. — *ἀμφιπερικτίοσιν*, *ἀμφιπερικατίοσι* O, *ἀμφὶ περιπτύουσι* f, *ἀμφὶ περικτίοσι* deln. — V. 1059. *Τιμαγόρα, πολλῶν* Camerarius, *τιμαγαρ απόλλων* A, *τιμᾶ γὰρ ἀπόλλων**. — V. 1060. *γινώσκειν* AO, v. *γιγνώσκειν*.

οἱ μὲν γὰρ κακότητα κατακρύψαντες ἔχουσιν
πλούτῳ, τοὶ δ' ἀρετὴν οὐλομένῃ πενίῃ.

Ἐν δ' ἥβῃ πάρα μὲν ξὺν ὁμήλικι καλ λῖθ' εὕδειν,
ἱμερτῶν ἔργων ἐξ ἔρον ἱέμενον,
ἔστι δὲ κωμάζοντα μετ' αὐλητῆρος ἀείδειν.
τούτων οὐδὲν ἄρ' ἦν ἄλλ' ἐπιτερπνότερον
ἀνδράσιν ἠδὲ γυναιξί· τί μοι πλοῦτός τε καὶ αἰδώς;
τερπωλὴ νικᾷ πάντα σὺν εὐφροσύνῃ.

Ἄφρονες ἄνθρωποι καὶ νήπιοι, οἵτε θανόντας
κλαίουσ', οὐδ' ἥβης ἄνθος ἀπολλύμενον.

Κύρνε, φίλους προς πάντας ἐπίστρεφε ποικίλον ἦθος

V. 1061—2 affert Stob. XCVII 9. — V. 1063—8 et versus 1069—70 *Mimnermi* videntur. — πάρα Bekker, libri παρὰ (A παρα). — ξυν ομηλικι A, ξυν ομήλικι O, ξυνομήλικι *. — καλλῖθ' scripsi i. e. κατὰ λῖτα, in linteo sive lodice involutum, O κάλλιστον (comp.), ceteri κάλλιον praeter A qui πάννυχον. Adversatur mihi Hartel, dictitans me nullius fidei auctores secutum esse, at O hic quoque antiquam paradosin quamvis vitiatam tuetur, πάννυχον satis audacter sed speciose diorthota vetus. Praeterea Hartel me castigat quod σπονδειάζοντα intulerim, qui artis legibus adversetur; scilicet castigator nescit καλλῖθ' εὕδειν vocabulo quattuor syllabarum aequiparabile esse, velut ἅδ' ἁ φωνά apud Theocritum, vel Homericum εἴασ' Ἕκτωρ, cui similis clausula Moschi φαίης κ' αὐλοῦ, ubi Meineke φαίό κεν scripsit, speciose sane, sed formae insolentia offensioni est. — V. 1064. ἐξ ἔρον ἱέμενον, O ἐξέρου ἱέμενος. Hoc loco breviatorem plura resecuisse manifestum est. — V. 1066. τούτων οὐδὲν ἄρ' ἦν ἄλλ' ἐπιτερπνότερον scripsi, ἄρ' ἦν fortasse breviator immutavit, quoniam versibus mediis omissis minus commodum videbatur, atque ipse aliquando τούτων οὐδὲν ἐτῇ i. e. ἐτεῇ sive ἀληθῶς (vid. ad Pind. p. 287) hiatu admisso (vid. ad v. 1052) scribendum suspicatus sum. Libri τούτων οὐδέν τοι (om. A, τι Oel.) ἄλλ' ἐπιτερπνότερον (ita AO et plerique, ἔπι τερ. m, ut Turnebus, ἐπιτερπόμενον efl.). Revocavi ἐπιτερπνότερον quamvis auctoritate destitutum, sed ἐπιτερπής et ἐπιτέρπειν usitata; nam verbum ἐπεῖναι ab hoc loco tam alienum, quam ἔτι, nec ἄλλο τι placet. Hermann οὐδὲν ὁμῶς ἄλλ' ἔτι, Epkema οὐδέν τοι τούτων ἄλλ' ἐπιτ., O. Schneider οὐδὲν ἔπεστ' ἄλλ' ἔτι, Hartung τούτων δ' οὐδεὶς οἶδ' ἄλλο τι τερπνότερον, Heimsoeth τούτων οὐδὲν τἄλλ' ἔσθ' ὅ τι τερπ., Hartel τ. οὐδέ τοι ἄλλ' ἔπλετο τερ., Gomperz tentavit τούτων οὐδὲ νοεῖν ἄλλ' ἔνι τερπνότερον. — V. 1067 nihil muto, quamquam exspectaveris τί μοι πλούτου τε καὶ αἰδοῦς, qua structura non solum Attici scriptores, sed etiam Hom. Il. Φ 360 et fort. Anacr. fr. 130 usi sunt. — V. 1068. πάντα, O πάντας. Poeta dicit: voluptas et animus laetitia gestiens summum bonum est, quod cum non animadvertisset Hartel temere coniecit νικᾷ πάντα σὺν ἀφροσύνῃ vel νίκα π. σ. ἀφροσύνῃ, quod νικάτω vel νικᾷς dici oportebat. — V. 1070. ἀπολλύμενον, O ἀπολλόμενον. Post hunc versum iterant codd. v. 887—8.

συμμίσγων ὀργὴν οἷος ἕκαστος ἔφυ.
νῦν μὲν τῷδ' ἐφέπου, τοτὲ δ' ἀλλοῖος πέλευ ὀργήν·
κρείσσων τοι σοφίη καὶ μεγάλης ἀρετῆς.

Πρήγματος ἀπρήκτου χαλεπώτατόν ἐστι τελευτὴν
γνῶναι, ὅπως μέλλει τοῦτο θεὸς τελέσαι·
ὄρφνη γὰρ τέταται· πρὸ δὲ τοῦ μέλλοντος ἔσεσθαι
οὐ ξυνετὰ θνητοῖς πείρατ' ἀμηχανίης.

Οὐδένα τῶν ἐχθρῶν μωμήσομαι ἐσθλὸν ἐόντα,
οὐδὲ μὲν αἰνήσω δειλὸν ἐόντα φίλον. 551

1081a Κύρνε, κύει πόλις ἥδε, δέδοικα δὲ μὴ τέκῃ ἄνδρα
b ὑβριστήν, χαλεπῆς ἡγεμόνα στάσιος·
1082a ἀστοὶ μὲν γὰρ ἔασι σαόφρονες, ἡγεμόνες δέ
b τετράφαται πολλὴν ἐς κακότητα πεσεῖν.

V 1071—4 contracti sunt ex v. 213—18. — V. 1073. τῷδ', τοδ' A. — τοτὲ, O τότε. — V. 1074. κρείσσων O, κρεῖσσόν rel. — V. 1076. τοι, τι emn. — V. 1077. ὄρφνη, O et plerique ὀρφνὴ. — V. 1078. θνητοῖς AO, θνητῆς bcdfhlmn. Conieci ὄρφνη γὰρ τέταται πρὸ τέλους μέλλοντος ἔσεσθαι, κοὐ ξυνετὰ κτλ. quod comprobavit Hartung, nunc malim πρό γε τοῦ (A προ δε τοῦ), non est vocula γὲ iners complementum; sed ipsum articulum temporis sive rerum notat, ut οἴμοι πρὸς αὐτῷ γ' εἰμὶ τῷ δεινῷ λέγειν. Heimsoethio placuit τέταται περὶ τοῦ μ. ἔσ. — V. 1081ab — 82ab. vid. v. 39 — 42, ubi haec quattuor versuum ecloga non sine varietate lectionis extat, nam v. 1081b ibi est εὐθυντῆρα κακῆς ὕβριος ἡμετέρης, item v. 1082a legitur ἀστοὶ μὲν γὰρ ἔθ' οἵδε σαόφρονες. Hoc quidem loco prius distichon om. cg, alterum ut videtur ceg. Bekker posterius distichon abiecit, non recte, nam integra ecloga aut retinenda aut segreganda. — V. 1081a. τέκῃ, τέκοι AObdelmn, utrumque h. Post v. 1082b repetunt AObdfhlmn v. 87—90. Libri Theognidei saepe easdem sententias diversis locis plerumque plus minusve variatas exhibent: animadversione autem inprimis dignum est, versus iteratos tantum non omnes in novissima parte libri prioris inde a v. 1038—1220 (vel 949—1220, vide infra) legi, nisi quod solus A v. 209—10 infra post v. 332 loco sane commodissimo iterat; item proximum distichon v. 211—2 infra v. 509—10 et apto loco et germana specie servata legitur; nam quod distichon v. 115—6 fere conspirat cum v. 643—4, non repetuntur iidem versus, sed sententia variatur, legiturque utrumque decretum commodo loco. Denique monendum in posteriore parte libri I semel repeti versus, qui in hac ipsa parte leguntur, vid. ad v. 1095—6. Praeterea autem quattuor eclogae et in hac extrema parte lib. I et in lib. II leguntur. Repetuntur enim in A v. 1101—2 et v. 949—50 etiam post v. 1278, v. 1107—8 post v. 1318, et v. 1151—2 post v. 1238. Equidem suspicor hos versus ex παιδικῶν sylloge in gnomologiae novissimam

Οὕτω χρὴ τόν γ' ἐσθλὸν ἐπιστρέψαντα νόημα
ἔμπεδον αἰὲν ἔχειν ἐς τέλος ἀνδρὶ φίλῳ.

Δημῶναξ, σοὶ πολλὰ φέρειν βαρύ· οὐ γὰρ ἐπίστῃ
τοῦθ' ἔρδειν, ὅ τι σοι μὴ καταθύμιον ᾖ.

Κάστορ καὶ Πολύδευκες, οἳ ἐν Λακεδαίμονι δίῃ
ναίετ' ἐπ' Εὐρώτᾳ καλλιρόῳ ποταμῷ,
εἴ ποτε βουλεύσαιμι φίλῳ κακόν, αὐτὸς ἔχοιμι·
εἰ δέ τι κεῖνος ἐμοί, δὶς τόσον αὐτὸς ἔχοι.

Ἀργαλέως μοι θυμὸς ἔχει περὶ σῆς φιλότητος·
οὔτε γὰρ ἐχθαίρειν οὔτε φιλεῖν δύναμαι,

partem translatos esse: nam harum eclogarum tres manifesto puerorum amorem spectant, (v. 949 seq. componas cum Cydiae fr. 1), quarta ecloga (v. 1107—8) quamvis non spiret amores, videtur ex amatorio carmine petita esse, cui subiecta est infra p. v. 1318. Ecloga 1151—2 infra disticho auctior extat, vicissim eclogae v. 949—54 infra primum tantum distichon servatum, reliqua librarii oscitantia praetermisit; denique dist. 1101—2 pariter utroque loco mutilatum. Puerorum amoris cum expers sit prior pars gnomologiae, (nam v. 253 et 371 parvi sunt momenti), in novissima parte satis multa leguntur, quorsum spectat censura apud Suidam *ἀλλ' ἐν μέσῳ τούτων παρεσπαρμέναι μιαρίαι καὶ παιδικοὶ ἔρωτες*, quam censuram non Suidas fecit, qui Theognidea non usurpavit, sed alius quis, cuius in manibus erat haec gnomologia, neque vero *παιδικῶν* volumen. Hoc ipso volumine etiam tunc integro (nam cod. A particulam tantum continet) usus est, qui novissimam gnomologiae partem adornavit, inde delibavit amatoria, velut v. 1095—6 qui diversis locis repetuntur. Et huius quidem hominis industriam inde a v. 949 usque ad umbilicum gnomologiae deprehendimus. Ego priores secutus repetitos versus, de quibus in adnotatione suis locis dictum est, praetermisi, nisi quod hoc loco 1081 seq. et infra 1239 seq. versus a Bekkero aliis segregatos non sine idonea ratione revocavi. Ziegler in appendice has repetitiones exhibet, sed culpandus quod hic quoque neglectis proletariis libris solos AKO antestatur. — V. 1083 poenitet iam suspicionis olim proditae, hoc distichon ex duabus eclogis temere contaminatum esse; *ἐπιστρέψαντα νόημα* est: ubi animum ad amicum applicavit. Heimsoeth *ὑποθρέψαντα* desiderat. Hartung scripsit *οὔτοι χρή . . . ἐπιστρέψαι τὸ νόημα, ἔμπεδον αἰὲν ἔχειν δ' ἐς τέλος.* — V. 1085. *Δημῶναξ, σοὶ πολλὰ φέρειν βαρύ* Welcker, quamquam *πολλὰ* displicet, fortasse *ἄελπτα* corrigendum, antea probantibus Hartungo et Zieglero *σὺ δὲ πολλὰ φέρεις βαρύ* scripsi, vulgo et codd. *δῆμον δ' ἀξιοῖ* (A *δημων αξιοι δε*) *πολλὰ φέρειν βαρὺς* (A *βαρυ*, e *βαρὺν*). Boissonade *Δημῶναξ, εἶ π. φ. βαρύς*, Emperius *βαρέ'* requirit. — V. 1086. cf. infra v. 1238. — V. 1087—90 Hartung *Chiloni* vindicat. — V. 1088. *ναίετ'*, l *ναίετον*. — *ἐπ'* om. bcdghn. — *Εὐρώτᾳ* Herwerden, legebatur *Εὐρώτα*. — V. 1090. *ἔχοι*, *ἔχει* Ofl. — V. 1092 malim *οὔτε γὰρ ἐχθαίρειν σ', οὔτε φιλεῖν δύναμαι.*

γινώσκων χαλεπὸν μέν, ὅταν φίλος ἀνδρὶ γένηται,
ἐχθαίρειν, χαλεπὸν δ' οὐκ ἐθέλοντα φιλεῖν.

Σκέπτεο δὴ νῦν ἄλλον, ἐμοί γε μὲν οὔτις ἀνάγκη
τοῦθ' ἔρδειν· τῶν μοι πρόσθε χάριν τίθεσο.

Ἤδη καὶ πτερύγεσσιν ἐπαίρομαι ὥστε πετεινόν
ἐκ λίμνης μεγάλης, ἄνδρα κακὸν προφυγών, 552
βρόκχον ἀπορρήξας· σὺ δ' ἐμῆς φιλότητος ἁμαρτών
ὕστερον ἡμετέρην γνώσῃ ἐπιφροσύνην.

V. 1093. *γινώσκων* O, sed A *γινωσκω*, g *γιγνώσκω*, vulgo *γιγνώσκων*. — *μὲν* usque ad *χαλεπὸν* om. g. — V. 1095—6 a praegressis separavi, Welcker cum seqq. coniungit, quod probavit Heimsoeth corrigens *αὖθ' ἔρδειν, τῶν μὴ π. χ. τ.* Hoc distichon infra post v. 1160 cum insigni lectionis varietate repetunt AObdefghlmn: *ὦ νέοι οἳ νῦν ἄνδρες* (A *ὦ νεοι· οἳ νῦν ανδρες*) *ἐμοί γε* (A *εμοι γε*, O *ἔμοιγε*) *μ. οὔ. ἀν. τοῦθ' ἔρδειν* (A *ταῦθ' ερδειν, τ. μ. πρόσθε* (O *πρόσθεν*) *χ. τίθεσο*. Manifestum est hic quoque diversas eclogas temere in unum coaluisse, nam

Ὦ νέοι, οἳ νῦν ἄνδρες . . .

novae sententiae est exordium (Heimsoeth librarii *παρεπιγραφὴν* esse *νέοι οἳ νῦν ἄνδρες* credit), reliqua intercepta sunt, cum librarius propter voculam *νῦν* deerraret in proximam eclogam; et huius quidem detrimentum resarcire licet, quoniam sedulus aliquis libro etiam tunc integro post v. 1160 usus alterum hoc distichon post v. 1094 inseruit, cum ab illius loci argumento non abhorrere animadvertisset: manifestum enim ex inferiore loco hanc eclogam in superiorem hunc translatum esse, non vicissim. — V. 1095. *σκέπτεο*, O *σκέπτε*. — *ἄλλον*, o corr. ex ω ut vid. A. — *ἐμοί*, *ἔμοι* A. — V. 1096. *τῶν*, O evan., sed infra *τῶν*. — *πρόσθε*, Ac *πρόσθεν*. — *χάριν*, *χάρι* cg. Hermann *σκέπτεο δὴ νῦν ἄλλον* (*ἐμοί . . . ἔρδειν*) *τῶν μου κτλ.* Ahrens *τοῦθ' ἔρδειν, τοῦ μοι*. Nihil novandum; poeta dicit: quaere alium amicum, qui tibi obsequatur; me nihil necesse tibi dicto audientem esse: priorum beneficiorum mihi gratiam refer. — V. 1098. *ἐκ λίμνης μεγάλης*, poeta scripsisse videtur *ἐκ λινέης νεφέλης*, quod Graefe proposuit. Hermann *ἐκ λόχμης μ.*, Orelli *ἐκ λύμης μ.* probante Herwerdeno, Mey *ἐκ Λιβύης μεγάλης*. — V. 1099. *βρόκχον* cum Scaligero scripsi, *βρόγχον* cefgl, *βρόχον**. Cf. Hesych. *βρόκχος· βρόχος*. Christ Metrik p. 24 ed. 2 tuetur *βρόχον*, quod prudentibus non mirum acciderit, cum vel Aristophanem *φιλόσōφον* paenultima producta extulisse opinetur, id quod artis metricae Graecorum legibus planissime adversatur. — *σὺ*, h *σή*. — V. 1100. *ἡμετέρην*, bm *ὑμετέρην*, quod probavit Hartung, qui veteres editiones secutus continuo subiunxit proximum distichon quemadmodum Emperius, qui *ἠλεμάτην*, et Boissonade qui v. 1101 *χὤστις* (*χὤστις*) scripsit probante Heimsoethio, perperam illi quidem. — V. 1101—2, quos recte a prioribus separavit Bekker, infra post v. 1278 repetit A, id quod argumento est novam esse eclogam, sed manifestum est apodosin deesse, intercidit igitur distichon post v. 1102. Cum non sit verisimile eclogam bis pariter detrimentum accepisse, is, qui hanc gnomologiae partem concinnavit,

Ὅστις σοι βούλευσεν ἐμεῦ πέρι, καί σ' ἐκέλευσεν
οἴχεσθαι προλιπόνθ' ἡμετέρην φιλίην.

Ὕβρις καὶ Μάγνητας ἀπώλεσε καὶ Κολοφῶνα
καὶ Σμύρνην. πάντως, Κύρνε, καὶ ὔμμ' ἀπολεῖ.

Ἐς βάσανον δ' ἐλθὼν παρατριβόμενός τε μολύβδῳ
χρυσὸς ἄπεφθος ἐὼν καλὸς ἅπασιν ἔσῃ.

Ὤ μοι ἐγὼ δειλός· καὶ δὴ κατάχαρμα μὲν ἐχθροῖς,
τοῖς δὲ φίλοισι πόνος δεινὰ παθὼν γενόμην.

Κύρν', οἳ πρόσθ' ἀγαθοὶ νῦν αὖ κακοί, οἳ δὲ κακοὶ πρὶν
νῦν ἀγαθοί· τίς κεν ταῦτ' ἀνέχοιτ' ἐσορῶν,
τοὺς ἀγαθοὺς μὲν ἀτιμοτέρους, κακίους δὲ λαχόντας
τιμῆς; μνηστεύει δ' ἐκ κακοῦ ἐσθλὸς ἀνήρ.
ἀλλήλους δ' ἀπατῶντες ἐπ' ἀλλήλοισι γελῶσιν,
οὔτ' ἀγαθῶν μνήμην εἰδότες οὔτε κακῶν.

Χρήματ' ἔχων πενίην μοι ὀνείδισας· ἀλλὰ τὰ μέν μοι
ἔστι, τὰ δ' ἐργάσομαι θεοῖσιν ἐπευξάμενος.

sententiam quamvis mutilatam ex *παιδικῶν* volumine huc transtulisse censendus est. Ego olim suspicatus sum distichon adiungendum esse eclogae v. 1259—62 *δειλῶν ἀνθρώπων ῥήμασι πειθόμενος, εἴ τις σοι βούλευσεν κτλ.* — V. 1101. *καί*, m *κέ.* — V. 1102. *προλιπόνθ'*, A *προλιπόντ'.* — V. 1104. *ὔμμ' ἀπολεῖ*, A *υμμ' απολεῖ*, O *ὔμμας ὀλεῖ*, el *ὑμᾶς ὀλεῖ*, rel. *ὔμμας ὀλεῖ*, unde aliquis *ὕμας* (vel *ἥμας*) *ὀλεῖ* coniiciat, Welcker *ἄμμ' ἀπολεῖ.* — V. 1105 antea repetunt AObdefhlmn v. 571—2, et commode quidem hae eclogae, cum eiusdem sint argumenti, componuntur, neque vero licet utrumque distichon coniungere. — V. 1105. *ἐς*, legebatur *εἰς.* — *μολύβδῳ* g, *μολίβδῳ* rel. — V. 1106. *ἄπεφθος*, O *ἄπευθος.* Ahrens coni. *χρυσὸς ἄπεφθός τ' ὢν δῆλος*, Heimsoeth *ἐὼν δῆλος ἅπας ἔσομαι.* — *ἔσῃ, ἔστῃ* el. — V. 1107—8 repetit A infra post v. 1318. — *ὤ μοι*, Acg *οἴμοι*, sed infra A *ωἴμοι*, et ambigunt veteres magistri, utrum *ὤ μοι* an *ᾦ μοι* sit scribendum, vid. Herodian. II 1, 610 ed. Lentz. — V. 1108. *δεινὰ* Camerarii emendationem confirmat A infra, hic cum reliquis *δειλὰ.* In A h. l. legitur *φίλοις ὁ πόνος δειλα παθὼν γενοίμην*, unde aliquando *ὅτλος* conieci, sed infra *τοῖσι φιλοις δε πόνος δειναπαθῶν γενόμην*, ac *τοῖσι φίλοις δὲ* fortasse restituendum. — V. 1110. *ἀνέχοιτ', ἐνέχοιτ'* n. — V. 1113. *ἀπατῶντες*, f *ἀπαντῶντες.* — V. 1114. *μνήμην*, Hecker *γνώμην.* Post 1114 repetunt AOlmn v. 619—20. — V. 1115. *μοι ὀνείδισας* scripsi, quod etiam Emperius proposuit, vulgo *μ' ὠνείδισας*, sed poetam sine causa idonea elisione pronominis *μοι* usum esse, non est credibile, duplex autem accusativus hoc loco ferri nequit. — *τὰ μέν μοι*, A *τεμεμοι*, O *τὰ μέντοι*, f *ταῦτα μέν μοι*, Ahrens *τὰ μὲν τοι.* — V. 1116. *ἐπευξάμενος*, el *ἐπευχόμενος*

Πλοῦτε, θεῶν κάλλιστε καὶ ἱμεροέστατε πάντων, 553
σὺν σοὶ καὶ κακὸς ὢν γίνεται ἐσθλὸς ἀνήρ.

Ἥβης μέτρον ἔχοιμι, φιλοῖ δέ με Φοῖβος Ἀπόλλων
Λητοΐδης καὶ Ζεύς, ἀθανάτων βασιλεύς,
ὄφρα βίον ζώοιμι κακῶν ἔκτοσθεν ἁπάντων,
ἥβῃ καὶ πλούτῳ θυμὸν ἰαινόμενος.

Μή με κακῶν μίμνησκε· πέπονθά τοι οἷά τ' Ὀδυσσεύς,
ὅστ' Ἀΐδεω μέγα δῶμ' ἤλυθεν ἐξαναδύς,
ὃς δὴ καὶ μνηστῆρας ἀνείλετο νηλέϊ θυμῷ
Πηνελόπης ἔμφρων κουριδίης ἀλόχου,
ἥ μιν δήθ' ὑπέμεινε φίλῳ παρὰ παιδὶ μένουσα,
ὄφρα τε γῆς ἐπέβη δειμαλέους τε μυχούς.

Εἰ πίομαι, πενίης θυμοφθόρου οὐ μελεδαίνω,

quod v. 358 et 944 commendant, nolui tamen obtemperare, cf. Hom. Il. Z 475. Od. Ξ 436. — V. 1118. ὢν, n ἐὼν. — γίνεται AO, γίγνομαι*. — V. 1119. Φοῖβος, O φίλος. — V. 1120. Λητοίδης Ab, λητοΐδης *. Soluta forma epici nusquam, elegiaci poetae tantum in altera pentametri parte videntur usi esse, cf. Anth. P. VII 237, 2 καὶ μέσον ἀμφοτέρων μάρτυρα Λητοΐδην. Etiam Simonidi ep. 164, 2 Λητοίδης restitui. — V. 1121. βίον, δικηι A, quod probant Orelli et Hartung. Videtur germana scriptura oblitterata esse. Heimsoeth ἀσινὴς suasit. — V. 1123—28. Haec ecloga multis ac gravibus difficultatibus obsaepta, ut restituendi periculum fere irritum sit. — V. 1123. με, c τε. — μίμνησκε Turnebus, quod suppeditat A μίμνησκ' επεπονθα, ceteri μέμνησθε. — V. 1124. Ἀΐδεω, αιδεω A, ἀΐδου* ut vulgo. Prorsus insolens orationis conformatio, exspectes ἦλθε καὶ ἐξανέδυ, vel ὅστ' ἐλθὼν Ἀΐδεω δῶμα μέγ' ἐξανέδυ. — V. 1125. ἀνείλετο, A ανειλατο, fort. ἐνήρατο, et hoc ipsum vel ἀμύνατο Emperius commendavit. — θυμῷ A, χαλκῷ* et vulgo. — V. 1126. ἔμφρων, A εὐφρων, neutrum aptum, commodius σύμφρων, sed hoc diversam requirit rectionem, μνηστῆρας . . . Πηνελόπης, σύμφρων κουριδίῃ ἀλόχῳ, hiatu admisso, cui venia parata est. — V. 1127. ἥ μιν A, ἡ μὲν*. — δήθ', δῆθ' Obdefghlmn. — παρα A, πρὸς*. — V. 1128. δειμαλέους, g δειμολέους, A δειλαλεους. — τε, Obdhm γε. — Parum probabilia critici excogitaverunt, Hertzberg δειελινούς, Wassenbergh Ἰθάκης ἐ. δαιδαλέου τε μυχοῦ, Emperius Ἰθάκης ἐπέβη δαιδαλέοιο μυχοῦ vel ὄφρα τέγης ὑπέβη δαιδαλέοισι μυχοῖς, denique a vero prorsus aberrans nuper Paley ὄφρα τε γῆν ὑπέβη. Conieci ὄφρ' ἧς γῆς ἐπέβη δαιδαλέου τε λέχους, similiter novissima etiam Haupt. Cf. Hom. Od. Ψ 183 seqq. — V. 1129—32, qui vulgo dirimuntur in duas particulas, affert Stob. CXVI 10. Fortasse *Mimnermi* sunt. — V. 1129. εἰ πίομαι libri deteriores, A ἐμπίομαι, O ἐλπίομαι, Stob. οὐδέ γε μὴν, quae inscita est correctio scripturae mendosae vel non intellectae. — οὐ om. Stob. — μελεδαίνω cum Stobaeo libri praeter Ae, qui μελεδαίνων. Ahrens εὖ

οὐδ' ἀνδρῶν ἐχθρῶν, οἵ με λέγουσι κακῶς·
ἀλλ' ἥβην ἐρατὴν ὀλοφύρομαι, ἥ μ' ἐπιλείπει,
κλαίω δ' ἀργαλέον γῆρας ἐπερχόμενον.

Κύρνε, παροῦσι φίλοισι κακοῦ καταπαύσομεν ἀρχήν,
ζητῶμεν δ' ἕλκει φάρμακα φυομένῳ.

Ἐλπὶς ἐν ἀνθρώποις μούνη θεὸς ἐσθλὴ ἔνεστιν,
ἄλλοι δ' Οὔλυμπόνδ' ἐκπρολιπόντες ἔβαν·
ᾤχετο μὲν πίστις, μεγάλη θεός, ᾤχετο δ' ἀνδρῶν 554
σωφροσύνη· χάριτές τ', ὦ φίλε, γῆν ἔλιπον·

πίομαι praeoptat, Heimsoeth *εἰ πέπομαι . . . μελεδαίνω*, M. Schmidt Stobaeo fidem habens *ἔμπα γε μὴν* sane modestius, sed non reputavit, omnem sententiae vim infringi, si poeta reticeat, cur hoc doleat vehementer, illud aequo animo ferat. Igitur verbum, in quo cardo omnis versatur, desideramus: neque vero *πίομαι* vitii expers: non tantopere offendit ῐ correpta aut praesentis notio, sed non intelligo, cur poeta, cum vinum omnium curarum sit remedium, dicat senectutis ingruentis sollicitudinem Bacchi munere non frangi. Equidem scripserim *εἰ πνέομαι, πενίης θυμοφθόρου οὐ μελεδαίνω*, i. e. amore flagrans neque paupertatem neque inimicorum convicia curo, sed iuventutis florem amissum doleo. *πνεῖν* idem est, quod *ἐρᾶν*, (vid. Theocr.) unde etiam *εἰσπνεῖν* (*εἴσπνηλος*) et *ἐμπνεῖν* (vid. Hesych.) dicuntur. Huius verbi media forma licuit poetae uti, quemadmodum *ἔραμαι* et *ἐρῶ* dicuntur. Omnino videntur Colophonii medias verborum formas frequentavisse, siquidem poetae illinc oriundi peculiaria quaedam usurpant, velut Antimachus *νωμήσαντο*, Hermesianax, de quo iam olim monui in comm. ad eiusdem eleg. v. 29, inprimis Nicander, velut *ἐνθρύπτεσθαι, καταρτίζεσθαι, καταψήχεσθαι, νομάζεσθαι, συμφύρεσθαι, φορύσσεσθαι* alia, sed *ἐντρέφεσθαι* (etium Hermesianax *τρέφεσθαι* dixit) segregandum, quo iam Hesiodus usus est, ac *τρέφεσθαι* etiam in Theognideis v. 276 legitur. — V. 1133. *παροῦσι* vitium contraxit, poeta scripsisset *Κύρνε φίλοις παρεοῦσι*, quod etiam versus numeri commendant, sed ipsum vocabulum ab hoc loco alienum; sed non suppetit probabilis medicina; nam *φίλοις πωροῦσι* (*πωρεῦσι*) non ausim commendare, quamquam obsoletum verbum *πωρεῖν* testantur Hesychius et Suidas, qui Eleis attribuit, auctoritate autem destitutum *παραῦθι*, quod Attici *παραυτὰ* vel *παραυτίκα* dicunt. Neque alii probabilia excogitaverunt: O. Schneider *πονοῦσι*, M. Schmidt *παθοῦσι*, Sauppe *Κύρν', ἀποροῦσι*, Herwerden *ἑτάροισι*. — *φίλοισι*, 1 *φίλοις*. — V. 1135 affert Stob. CX 12. Apost. VII l. c. — *ἀνθρώποις μούνη* Stob. Ap., *ἀνθρώποισι μόνη* vulgo et codd. — *ἔνεστιν*, Sintenis *ἔτ' ἐστίν*. — V. 1136. *Οὔλυμπόνδ'* Brunck, libri *Οὔλυμπον*, contra Leutsch *Οὔλυμπον γῆν προλιπόντες* requirit, cui suspicioni quod continuo subsequitur *γῆν ἔλιπον* adversatur. *ἐκπρολιπόντες* non est sollicitandum, repetas ex proximo priore v. *ἀνθρώπους*, cf. Hesiod. Op. 197 *καὶ τότε δὴ πρὸς Ὄλυμπον ἀπὸ χθόνος . . . ἀθανάτων μετὰ φῦλον ἴτον προλιπόντ' ἀνθρώπους αἰδὼς καὶ νέμεσις*. — V. 1137. *πίστις* scripsi, et ad eundem modum deinde *σωφροσύνη* et *χάριτες*, vulgo *Πίστις, Σωφροσύνη, Χάριτες*. — V. 1138. *τ', δ'* 1.

ὅρκοι δ' οὐκέτι πιστοὶ ἐν ἀνθρώποισι δίκαιοι,
οὐδὲ θεοὺς οὐδεὶς ἅζεται ἀθανάτους·
εὐσεβέων δ' ἀνδρῶν γένος ἔφθιται, οὐδὲ θέμιστας
οὐκέτι γινώσκουσ' οὐδὲ μὲν εὐνομίας.
ἀλλ' ὄφρα τις ζώει καὶ ὁρᾷ φάος ἠελίοιο,
εὐσεβέων περὶ θεούς, ἐλπίδα προσμενέτω,
εὐχόμενός τε θεοῖσι, καὶ ἀγλαὰ μηρία καίων
ἐλπίδι τε πρώτῃ καὶ πυμάτῃ θυέτω.
φραζέσθω δ' ἀδίκων ἀνδρῶν σκολιὸν λόγον αἰεί,
οἳ θεῶν ἀθανάτων οὐδὲν ὀπιζόμενοι
αἰὲν ἐπ' ἀλλοτρίοις κτεάνοις ἐπέχουσι νόημα,
ἐσθλὰ κακοῖς ἔργοις σύμβολα θηκάμενοι.

Μή ποτε τὸν παρεόντα μεθεὶς φίλον ἄλλον ἐρεύνα,
δειλῶν ἀνθρώπων ῥήμασι πειθόμενος.

Εἴη μοι πλουτεῦντι κακῶν ἀπάτερθε μεριμνέων
ζώειν ἀβλαβέως, μηδὲν ἔχοντι κακόν.

V. 1139. *ἐν ἀνθρώποισι δίκαιοι*, Leutsch *ἐν ἀνθρώποις ἀδίκοισιν*, alius *βιαίοις*, at nullus hic epitheto locus. Mihi poeta videtur scripsisse: *ὅρκοι δ' οὐκέτι πιστὸν ἐν ἀνθρώποισι δικαίων*, i. e. iusiurandum non iam pignus pactorum inter homines est. — V. 1140. *θεοὺς*, *θεὸς* bm. — V. 1141. *εὐσεβέων δ' ἀνδρῶν*, malim *δ'* oblitterare, asyndeton est convenientius polysyndeto, ac si quid addendum, *γὰρ* exspectaveris. — *ἔφθιται* Schaefer, vulgo *ἔφθιτο*. — V. 1142. *γινώσκουσ'* AO, v. *γιγνώσκουσ'*. — *εὐνομίας* Herwerdeni correctionem recepi, libri *εὐσεβίας* (O *εὐσεβίας* with εἰ above). — V. 1143. *τις* Hermann delet, Hartung scripsit: *ἀλλ' ὄφρα ζώῃ καὶ ὁρᾷ φάος ἠελίου τις*, Leutsch *ὄφρα δέ τις ζώει*, deleta particula *ἀλλά*. — *ζώει* A, *ζώοι* O, *ζώῃ**. — *φάος*, *φῶς* A. — V. 1145. *εὐχόμενός τε* scripsi, legebatur *εὐχέσθω δὲ*, et *εὐχόμενος* iam Brunck proposuit. — *καὶ*, Schaefer *κατ'*. — V. 1146. *ἐλπίδι*, vulgo scribi solet *Ἐλπίδι*. — *τε*, g *δέ*. Voculam *τὲ* traiicere solent tam poetae, quam pedestres scriptores, maxime Attici, cf. Herod. VI 79: *καὶ ἀοιδήν τε ταύτην πρώτην καὶ μούνην σφίσι γενέσθαι*. — *θυέτω*, O *τιθέτω*. — V. 1147. *σκολιὸν*, Leutsch *δόλιον*. — V. 1148. *οὐδὲν* A, **μηδὲν*. In proecdosi *οὐδέν'* scripsi. — V. 1150. *ἐσθλὰ* Emperius, legebatur *αἰσχρὰ*, nisi forte *αἰσχροῖς κάλ' ἔργοις* vel *κάλ' αἰσχροῖς ἔργοις* legendum. — V. 1151—2 repetuntur in A infra post v. 1238 addito alio disticho, unde huc eclogae primores versus translati. Praeterea extat hoc distichon in Anth. Pal. X 40 (ubi *ἄδηλον* est et pro *φίλον ἄλλον* a pr. m. *φιλόδαμος*) et Cram. An. Par. IV 374, ubi *παρείς* pro *μεθείς*. — V. 1153—6 exhibet Stob. CIII 14 utrumque distichon coniungens, consentiente Leutschio, qui colloquii particulas hic quoque sibi deprehendere videtur. — V. 1153. *πλουτεῦντι* Brunck, *πλουτοῦντι* libri. — *μεριμνέων* A, O *μεριμν* with ων above, *μεριμνῶν**. — V. 1154. *ἀβλαβέως* si est sine *noxa*, prorsus otiosum, sin est *innocentem* vel *insontem* vivere

Οὐκ ἔραμαι πλουτεῖν οὐδ' εὔχομαι, ἀλλά μοι εἴη
ζῆν ἀπὸ τῶν ὀλίγων, μηδὲν ἔχοντι κακόν.

(Πλοῦτος καὶ σοφίη θνητοῖς ἀμαχώτατον αἰεί·
οὔτε γὰρ ἂν πλούτου θυμὸν ὑπερκορέσαις·)
ὡς δ' αὔτως σοφίην ὁ σοφώτατος οὐκ ἀποφεύγει,
ἀλλ' ἔραται, θυμὸν δ' οὐ δύναται τελέσαι.

Οὐδένα θησαυρὸν καταθήσειν παισὶν ἄμεινον·
αἰτοῦσιν δ' ἀγαθοῖς ἀνδράσι, Κύρνε, δίδου.

